ἐπιθυμία καὶ ὀπίσω φόβος, ὥσπερ ἐξ ὀργάνων ἀ⟨συμ⟩μέτρων μετασχηματιζομένης ⟨τῆς ψυχῆς⟩. ἔπαρσις γὰρ αὐτῆς ἡδονή, συστολὴ δὲ λύπη· τείνεται δ' εἰς ἐπιθυμίαν, φεύγει δ' ὃ δέδιεν. ὅ γε μὴν θυμός, εἴτε τῆς ἐπιθυμίας ἐστὶν εἶδος κατ' ὄρεξιν ἀντιλυπήσεως ὑφιστάμενος, εἴτε ἕτερόν τι καὶ διάφορον, πολλάκις δὲ καὶ μαχόμενον πρὸς ἐπιθυμίαν πάθος, ὡς ὑπενόει Πλάτων (resp. IV 439e sq.), οὐκ ἄδηλον ὅτι καὶ αὐτὸς παρέξει ζήτησιν, *** εἴτε τοῦ σώματος ἐκριπιζόμενος χειμάζει τὸν ἄνθρωπον.

**2.** Ἔοικε παλαιά τις αὕτη τῷ σώματι διαδικασία πρὸς τὴν ψυχὴν περὶ τῶν παθῶν εἶναι. καὶ Δημόκριτος μὲν (Vorsokr. 68 B 159) ἐπὶ τὴν ψυχὴν ἀναφέρων ⟨τὴν αἰτίαν τοῦ⟩ κακοδαιμον⟨εῖν⟩ φησιν, εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠδύνηται ⟨καὶ⟩ κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι⟨καστής⟩, ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ' οἷς τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ διέσπασε ταῖς φιληδονίαις, ὥσπερ ὀργάνου τινὸς ἢ σκεύους κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος. Θεόφραστος δὲ τοὐναντίον ἔφη τῷ σώματι πολλοῦ τὴν ψυχὴν ἐνοικεῖν, ὀλίγου χρόνου βαρεῖς μισθοὺς ὑποτελοῦσαν, τὰς λύπας, τοὺς φόβους, τὰς ἐπιθυμίας, τὰς ζηλοτυπίας, αἷς συμφερομένη περὶ τὸ σῶμα



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41302413X/48 UNIVERSITÄT LEIPZIG